ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὴν κοινὴν γωνίαν τὴν
ἀπὸ τοῦ κθ' τοῦ α' ὑπὸ ΒΑΔ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΗΖ τῇ ΔΓ, ἴση ἐστὶν
ἡ μὲν ὑπὸ ΑΗΖ γωνία τῇ ὑπὸ ΑΔΓ. ἡ δὲ ὑπὸ ΗΖΑ τῇ
ὑπὸ ΔΓΑ. καὶ κοινὴ τῶν δύο τριγώνων τῶν ΑΔΓ ΑΗΖ
ἡ ὑπὸ ΔΑΓ. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΔΓ τρίγωνον τῷ
ΑΗΖ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΓΒ τρίγωνον
ἰσογώνιόν ἐστι τῷ ΑΖΕ τριγώνῳ. καὶ ὅλον τὸ ΑΒΓΔ
παραλληλόγραμμον τῷ ΕΗ παραλληλογράμμῳ ἰσο
ἀπὸ τοῦ δ' τοῦ ς': γώνιόν ἐστιν. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΑΔ πρὸς τὴν ΔΓ,
οὕτως ἡ ΑΗ πρὸς τὴν ΗΖ. ὡς δὲ ἡ ΔΓ πρὸς τὴν ΓΑ, οὕ
τως ἡ ΗΖ πρὸς τὴν ΖΑ. ὡς δὲ ἡ ΑΓ πρὸς τὴν ΓΒ, οὕ
τως ἡ ΑΖ πρὸς τὴν ΖΕ. καὶ ἔτι ὡς ἡ ΓΒ πρὸς τὴν ΒΑ, οὕ
τως ἡ ΖΕ πρὸς τὴν ΕΑ. καὶ ἐπεὶ ἐδείχθη ὡς μὲν ἡ ΔΓ
πρὸς τὴν ΓΑ, οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΑ. ὡς δὲ ἡ ΑΓ
πρὸς τὴν ΓΒ, οὕτως ἡ ΑΖ πρὸς τὴν ΖΕ. δι' ἴσου ἄρα
ἀπὸ τοῦ κβ' τοῦ ε': ἐστὶν ὡς ἡ ΔΓ πρὸς τὴν ΓΒ, οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΕ.
τῶν ἄρα ΑΒΓΔ ΕΗ παραλληλογράμμων ἀνάλογόν
εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας. ὅμοιον ἄ
ἀπὸ τοῦ ὅρου α' τοῦ ς' ρα ἐστὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΗ παραλ
ληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΒΓΔ παραλλη
λόγραμμον καὶ τῷ ΚΘ παραλληλογράμμῳ ὅμοιόν
ἐστιν. ἑκάτερον ἄρα τῶν ΕΗ
ΘΚ παραλληλογράμμων τῷ
ΑΒΓΔ παραλληλογράμμῳ ὅ
μοιόν ἐστι. τὰ δὲ τῷ αὐτῷ εὐ
ἀπὸ τοῦ κα' τοῦ ς': θυγράμμῳ ὅμοια καὶ ἀλλήλοις



ἐστὶν ὅμοια. καὶ τὸ ΕΗ ἄρα παραλληλόγραμμον τῷ ΘΚ
παραλληλογράμμῳ ὅμοιόν ἐστι. παντὸς ἄρα παραλ
ληλογράμμου τὰ περὶ τὴν διάμετρον παραλληλό
γραμμα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις. ὅπερ ἔδει δεῖξαι :~

κε' Τῷ δοθέντι εὐθυγράμμῳ ὅμοιον καὶ ἄλλῳ τῷ δοθέντι
ἴσον τὸ αὐτὸ συστήσασθαι. ἔστω τὸ μὲν δοθὲν εὐθύγραμ
μον ᾧ δεῖ ὅμοιον συστήσασθαι τὸ ΑΒΓ. ᾧ δὲ δεῖ ἴσον
τὸ Δ. δεῖ δὴ τῷ μὲν ΑΒΓ ὅμοιον. τῷ δὲ Δ ἴσον τὸ αὐ
τὸ συστήσασθαι. παραβεβλήσθω γὰρ παρὰ μὲν τὴν ἀπὸ τοῦ μδ' τοῦ α':
ΒΓ τῷ ΑΒΓ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ΒΕ.
παρὰ δὲ τὴν ΓΕ τῷ Δ ἴσον παραλληλόγραμμον τὸ ΓΜ ἀπὸ τοῦ με' τοῦ α':
ἐν γωνίᾳ τῇ ὑπὸ ΖΓΕ, ἥ ἐστιν ἴση τῇ ὑπὸ ΓΒΛ. ἐπ' εὐ
θείας ἄρα ἐστὶν ἡ μὲν ΒΓ τῇ ΓΖ. ἡ δὲ ΛΕ τῇ ΕΜ. καὶ εἰ ἀπὸ τοῦ ιδ' τοῦ α':
λήφθω τῶν ΒΓ ΓΖ μέση ἀνάλογον ἡ ΗΘ. καὶ ἀναγε ἀπὸ τοῦ ιγ' τοῦ ς':
γράφθω ἀπὸ τῆς ΗΘ τῷ ΑΒΓ ὅμοιόν τε καὶ ὁμοίως
κείμενον τὸ ΚΗΘ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΗΘ, ἀπὸ τοῦ ιη' τοῦ ς':
οὕτως ἡ ΗΘ πρὸς τὴν ΓΖ. ἐὰν δὲ τρεῖς εὐθεῖαι ἀνά
λογον ὦσιν. ἔστιν ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕ ἀπὸ τοῦ π. τοῦ κ'
τως τὸ ἀπὸ τῆς πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευ τοῦ ς':
τέρας τὸ ὅμοιον καὶ ὁμοίως
ἀναγραφόμενον. ἔστιν ἄ
ρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΖ,
οὕτως τὸ ΑΒΓ τρίγωνον
πρὸς τὸ ΚΗΘ τρίγωνον.
ἀλλὰ καὶ ὡς ἡ ΒΓ πρὸς τὴν
ΓΖ, οὕτως τὸ ΒΕ παραλ ἀπὸ τοῦ α' τοῦ ς':



BIBLIOTHECA BODLEIANA